Τὸ 2ον κεφ. περὶ σωφροσύνης
θεωρεῖται

1. τὸ ὄνομα· περὶ τούτου
   1. πόθεν παράγεται· ὅτι ἀπὸ τοῦ σώζειν τὴν φρένα· ἢ λέγεται οἷον σῶα φρόνησις.
   2. πόσα σημαίνει· ἢ ποσαχῶς λαμβάνεται· ὅτι
      1. καταχρηστικῶς· οἷον, σωφροσύνη τῶν μελιττῶν.
      2. κοινῶς· ὅταν σωφροσύνην καλῶμεν διανοίας ὄρεξιν δεόντως γινομένην.
      3. ἰδίως· δὲ καλεῖται σωφροσύνη ἡ περὶ τὰς ἡδονὰς ἀρετή.
2. τί ἐστιν· ὅτι σωφροσύνη ἐστὶν ἀρετὴ περὶ τὰς ἡδονὰς καὶ λύπας.
3. τὸ ὑποκείμενον· διχῶς
   - τὸ πρῶτον καὶ ἁπλῶς, αἱ σωματικαὶ ἡδοναί, αἱ ἐκ τῆς γεύσεως καὶ ἁφῆς, καὶ τῶν ἀφροδισίων.
   - τὸ δεύτερον καὶ κατά τι, αἱ λῦπαι, καθὸ παραγίνονται ἐκ τῆς τῶν ἡδονῶν ἐπιθυμίας, καὶ τῆς στερήσεως αὐτῶν.
4. τὰ ἄκρα· διχῶς
   - ἐν ὑπερβολῇ· ἀκολασία· ὅταν τις πάσας τὰς ἐκ τῆς γεύσεως καὶ ἁφῆς ἡδονὰς ἀπείρως καὶ ἀμέτρως διώκῃ, καὶ θηρᾶται.
   - ἐν ἐλλείψει· ἀναισθησία· ὅταν τις οὐδὲ τὰς καλὰς ἡδονὰς αἱρεῖται.
5. τὰ εἴδη· εἰσὶ δὲ δύο
   1. ἡ εὐτέλεια· περὶ ἧς θεωρεῖται
      1. τί ἐστιν· ὅτι εὐτέλειά ἐστι σωφροσύνη περὶ τὰς τροφάς· ~~ἐστι~~ τάς τε ξηρὰς καὶ τὰς ὑγράς. σκοπεῖται δὲ τίς, καὶ πόσον, καὶ τί.
      2. τὰ εἴδη· ὄντα δύο
         - ἡ ἐγκράτεια περὶ βρῶσιν. ἧς τὰ ἄκρα
           - ἐν ὑπερβολῇ· πολυφαγία. ἀκρατισμός.
           - ἐν ἐλλείψει· νηστεία. ἀσιτία.
         - ἡ νηφάλεια περὶ πόσιν. ἧς τὰ ἄκρα
           - ἐν ὑπερβολῇ, οἰνοφλυγία. ~~ἢ~~ μέθη. ~~ἢ~~ ἀκροκωθωνισμός.
           - ἐν ἐλλείψει, τὸ μὴ πίνειν ὅτε καὶ ὅσον δεῖ.
   2. καὶ ἡ ἁγνεία· ἔστι δὲ σωφροσύνη περὶ τὰ ἀφροδίσια· τὰ δὲ ἄκρα.
      - ἐν ὑπεροχῇ, λαγνεία καὶ ἀσέλγεια.
      - ἐν ἐλλείψει· τὸ μὴ χρῆσθαι αὐτοῖς τὴν ἡλικίαν ἔχοντα.

http://digital.slub-dresden.de/ppn347224571/63